# INNO AKATHISTOS ALLA MADRE DI DIO

## Οἶκος α΄ *(Stanza I)*

1. Ἄγγελος πρωτοστάτης | οὐρανόθεν ἐπέμφθη
2. εἰπεῖν τῇ Θεοτόκῳ τὸ Χαῖρε·
3. καὶ σὺν τῇ ἀσωμάτῳ φωνῇ | σωματούμενόν σε θεωρῶν,
4. Κύριε,
5. ἐξίστατο καὶ ἵστατο * κραυγάζων πρὸς αὐτὴν τοιαῦτα·

   1. Χαῖρε, δι᾽ ἧς ἡ χαρὰ ἐκλάμψει·
   2. χαῖρε, δι᾽ ἧς ἡ ἀρὰ ἐκλείψει.

   3. Χαῖρε, τοῦ πεσόντος Ἀδὰμ ἡ ἀνάκλησις·
   4. χαῖρε, τῶν δακρύων τῆς Εὔας ἡ λύτρωσις.

   5. Χαῖρε, ὕψος δυσανάβατον | ἀνθρωπίνοις λογισμοῖς·
   6. χαῖρε, βάθος δυσθεώρητον | καὶ Ἀγγέλων ὀφθαλμοῖς.

   7. Χαῖρε, ὅτι ὑπάρχεις | Βασιλέως καθέδρα·
   8. χαῖρε, ὅτι βαστάζεις | τὸν βαστάζοντα πάντα.

   9. Χαῖρε, ἀστὴρ ἐμφαίνων τὸν Ἥλιον·
   10. χαῖρε, γαστὴρ ἐνθέου σαρκώσεως.

   11. Χαῖρε, δι᾽ ἧς νεουργεῖται ἡ κτίσις·
   12. χαῖρε, δι᾽ ἧς βρεφουργεῖται ὁ Κτίστης.

6. Χαῖρε, Νύμφη ἀνύμφευτε.

## Οἶκος β΄ *(Stanza II)*

1. Βλέπουσα ἡ Ἁγία | ἑαυτὴν ἐν ἁγνείᾳ,
2. φησὶ τῷ Γαβριὴλ θαρσαλέως·
3. Τὸ παράδοξόν σου τῆς φωνῆς | δυσπαράδεκτόν μου τῇ ψυχῇ
4. φαίνεται·
5. ἀσπόρου γὰρ συλλήψεως * τὴν κύησιν πῶς λέγεις; κράζων.

6. Ἀλληλούϊα.

## Οἶκος γ´ *(Stanza III)*

1. Γνῶσιν ἄγνωστον γνῶναι | ἡ Παρθένος ζητοῦσα,
2. ἐβόησε πρὸς τὸν λειτουργοῦντα·
3. ᾿Εκ λαγόνων ἁγνῶν μου Υἱόν, | πῶς ἐστι τεχθῆναι δυνατόν;
4. λέξον μοι.
5. Πρὸς ἣν ἐκεῖνος ἔφησεν, * ἐν φόβῳ πλὴν κραυγάζων οὕτω·

   1. Χαῖρε, βουλῆς ἀποῤῥήτου μύστις·
   2. χαῖρε, σιγῆς δεομένων πίστις.
   3. Χαῖρε, τῶν θαυμάτων Χριστοῦ τὸ προοίμιον·
   4. χαῖρε, τῶν δογμάτων αὐτοῦ τὸ κεφάλαιον.
   5. Χαῖρε, κλῖμαξ ἐπουράνιε, | δι᾽ ἧς κατέβη ὁ Θεός·
   6. χαῖρε, γέφυρα μετάγουσα | τοὺς ἐκ γῆς πρὸς οὐρανόν.
   7. Χαῖρε, τὸ τῶν ᾿Αγγέλων | πολυθρύλλητον θαῦμα·
   8. χαῖρε, τὸ τῶν δαιμόνων | πολυθρήνητον τραῦμα.
   9. Χαῖρε, τὸ φῶς ἀῤῥήτως γεννήσασα·
   10. χαῖρε, τὸ πῶς μηδένα διδάξασα.
   11. Χαῖρε, σοφῶν ὑπερβαίνουσα γνῶσιν·
   12. χαῖρε, πιστῶν καταυγάζουσα φρένας.

6. Χαῖρε, Νύμφη ἀνύμφευτε.

## Οἶκος δ´ *(Stanza IV)*

1. Δύναμις τοῦ ῾Υψίστου | ἐπεσκίασε τότε
2. πρὸς σύλληψιν τῇ ᾿Απειρογάμῳ·
3. καὶ τὴν ἔγκαρπον ταύτης νηδὺν | ὡς ἀγρὸν ὑπέδειξεν ἡδύν
4. ἅπασι
5. τοῖς θέλουσι θερίζειν * σωτηρίαν, ἐν τῷ ψάλλειν οὕτως·

6. ᾿Αλληλούϊα.

## Οἶκος ε´ *(Stanza V)*

1. Ἔχουσα θεοδόχον | ἡ Παρθένος τὴν μήτραν
2. ἀνέδραμε πρὸς τὴν Ἐλισάβετ·
3. τὸ δὲ βρέφος ἐκείνης εὐθύς, | ἐπιγνοὺν τὸν ταύτης ἀσπασμόν
4. ἔχαιρε·
5. καὶ ἅλμασιν ὡς ᾄσμασιν * ἐβόα πρὸς τὴν Θεοτόκον·

    1. Χαῖρε, βλαστοῦ ἀμαράντου κλῆμα·
    2. χαῖρε, καρποῦ ἀκηράτου κτῆμα.
    3. Χαῖρε, γεωργὸν γεωργοῦσα φιλάνθρωπον·
    4. χαῖρε φυτουργὸν τῆς ζωῆς ἡμῶν φύουσα.
    5. Χαῖρε, ἄρουρα βλαστάνουσα | εὐφορίαν οἰκτιρμῶν·
    6. χαῖρε, τράπεζα βαστάζουσα | εὐθηνίαν ἱλασμῶν.
    7. Χαῖρε, ὅτι λειμῶνα | τῆς τρυφῆς ἀναθάλλεις·
    8. χαῖρε, ὅτι λιμένα | τῶν ψυχῶν ἑτοιμάζεις.
    9. Χαῖρε, δεκτὸν πρεσβείας θυμίαμα·
    10. χαῖρε, παντὸς τοῦ κόσμου ἐξίλασμα.
    11. Χαῖρε, Θεοῦ πρὸς θνητοὺς εὐδοκία·
    12. χαῖρε, θνητῶν πρὸς Θεὸν παῤῥησία.

6. Χαῖρε, Νύμφη ἀνύμφευτε.

## Οἶκος ς´ *(Stanza VI)*

1. Ζάλην ἔνδοθεν ἔχων | λογισμῶν ἀμφιβόλων
2. ὁ σόφρων Ἰωσὴφ ἐταράχθη,
3. πρῴην ἄγαμόν σε θεωρῶν, | καὶ κλεψίγαμον ὑπονοῶν,
4. Ἄμεμπτε·
5. μαθὼν δέ σου τὴν σύλληψιν * ἐκ Πνεύματος Ἁγίου, ἔφη·

6. Ἀλληλούϊα.

## Οἶκος ζ´ *(Stanza VII)*

1. Ἤκουσαν οἱ Ποιμένες | τῶν Ἀγγέλων ὑμνούντων
2. τὴν ἔνσαρκον Χριστοῦ παρουσίαν·
3. καὶ δραμόντες Ποιμένα ὁρᾶν, | θεωροῦσι τοῦτον ὡς ἀμνόν
4. ἄμωμον,
5. ἐν τῇ γαστρὶ Μαρίας * βοσκηθέντα, ἣν ὑμνοῦντες εἶπον·

    1. Χαῖρε, ἀμνοῦ καὶ ποιμένος Μῆτερ·
    2. χαῖρε, αὐλὴ λογικῶν προβάτων.
    3. Χαῖρε, ἀοράτων ἐχθρῶν ἀμυντήριον·
    4. χαῖρε παραδείσου θυρῶν ἀνοικτήριον.
    5. Χαῖρε, ὅτι τὰ οὐράνια | συναγάλλεται τῇ γῇ·
    6. χαῖρε, ὅτι τὰ ἐπίγεια | συγχορεύει οὐρανοῖς.
    7. Χαῖρε, τῶν Ἀποστόλων | τὸ ἀσίγητον στόμα·
    8. χαῖρε, τῶν Ἀθλοφόρων | τὸ ἀνίκητον θάρσος.
    9. Χαῖρε, στεῤῥὸν τῆς πίστεως ἔρεισμα·
    10. χαῖρε, λαμπρὸν τῆς χάριτος γνώρισμα.
    11. Χαῖρε, δι' ἧς ἐγυμνώθη ὁ Ἅδης·
    12. χαῖρε, δι' ἧς ἐνεδύθημεν δόξαν.

6. Χαῖρε, Νύμφη ἀνύμφευτε.

## Οἶκος η´ *(Stanza VIII)*

1. Θεοδρόμον ἀστέρα | θεωρήσαντες Μάγοι,
2. τῇ τούτου ἠκολούθησαν αἴγλῃ·
3. καὶ ὡς λύχνον κρατοῦντες αὐτὸν | δι'αὐτοῦ ἠρεύνων κραταιόν
4. Ἄνακτα·
5. καὶ φθάσαντες τὸν Ἄφθαστον, * ἐχάρησαν αὐτῷ βοῶντες·

6. Ἀλληλούϊα.

## Οἶκος θ´ *(Stanza IX)*

1. Ἴδον παῖδες Χαλδαίων | ἐν χερσὶ τῆς Παρθένου
2. τὸν πλάσαντα χειρὶ τοὺς ἀνθρώπους·
3. καὶ Δεσπότην νοοῦντες αὐτόν, | εἰ καὶ δούλου ἔλαβε μορφήν,
4. ἔσπευσαν
5. τοῖς δώροις θεραπεῦσαι, * καὶ βοῆσαι τῇ Εὐλογημένῃ·

    1. Χαῖρε, ἀστέρος ἀδύτου Μῆτερ·
    2. χαῖρε, αὐγὴ μυστικῆς ἡμέρας.

    3. Χαῖρε, τῆς ἀπάτης τὴν κάμινον σβέσασα·
    4. χαῖρε τῆς Τριάδος τοὺς μύστας φωτίζουσα.

    5. Χαῖρε, τύραννον ἀπάνθρωπον | ἐκβαλοῦσα τῆς ἀρχῆς·
    6. χαῖρε, Κύριον φιλάνθρωπον | ἐπιδείξασα Χριστόν.

    7. Χαῖρε, ἡ τῆς βαρβάρου | λυτρουμένη θρησκείας·
    8. χαῖρε, ἡ τοῦ βορβόρου ‖ ῥυομένη τῶν ἔργων.

    9. Χαῖρε, πυρὸς προσκύνησιν παύσασα·
    10. χαῖρε, φλογὸς παθῶν ἀπαλλάττουσα.

    11. Χαῖρε, πιστῶν ὁδηγὲ σωφροσύνης·
    12. χαῖρε, πασῶν γενεῶν εὐφροσύνη.

6. Χαῖρε, Νύμφη ἀνύμφευτε.

## Οἶκος ι´ *(Stanza X)*

1. Κήρυκες θεοφόροι | γεγονότες οἱ Μάγοι,
2. ὑπέστρεψαν εἰς τὴν Βαβιλῶνα·
3. ἐκτελέσαντές σου τὸν χρησμόν, | καὶ κηρύξαντές σε τὸν Χριστὸν
4. ἅπασιν,
5. ἀφέντες τὸν Ἡρώδην ὡς ληρώδη, * μὴ εἰδότα ψάλλειν·

6. Ἀλληλούϊα.

## Ὶκος ια´ *(Stanza XI)*

1. Λάμψας ἐν τῇ Αἰγύπτῳ | φωτισμὸν ἀληθείας,
2. ἐδίωξας τοῦ ψεύδους τὸ σκότος·
3. τὰ γὰρ εἴδωλα ταύτης, Σωτήρ, | μὴ ἐνέγκαντά σου τὴν ἰσχὺν
4. πέπτωκεν·
5. οἱ τούτων δὲ ῥυσθέντες, * ἀνεβόων πρὸς τὴν Θεοτόκον·

    1. Χαῖρε, ἀνόρθωσις τῶν ἀνθρώπων·
    2. χαῖρε, κατάπτωσις τῶν δαιμόνων.

    3. Χαῖρε, ἡ τῆς πλάνης τὸ κράτος πατήσασα·
    4. χαῖρε τῶν εἰδόλων τὸν δόλον ἐλέγξασα.

    5. Χαῖρε, θάλασσα ποντίσασα | Φαραὼ τὸν νοητόν·
    6. χαῖρε, πέτρα ἡ ποτίσασα | τοὺς διψῶντας τὴν ζωήν.

    7. Χαῖρε, πύρινε στύλε | ὁδηγῶν τοὺς ἐν σκότει·
    8. χαῖρε, σκέπη τοῦ κόσμου | πλατυτέρα νεφέλης.

    9. Χαῖρε, τροφὴ τοῦ Μάννα διάδοχε·
    10. χαῖρε, τρυφῆς ἁγίας διάκονε.

    11. Χαῖρε, ἡ γῆ ἡ τῆς ἐπαγγελίας·
    12. χαῖρε, ἐξ ἧς ῥέει μέλι καὶ γάλα.

6. Χαῖρε, Νύμφη ἀνύμφευτε.

## Οἶκος ιβ´ *(Stanza XII)*

1. Μέλλοντος Συμεῶνος | τοῦ παρόντος αἰῶνος
2. μεθίστασθαι τοῦ ἀπατεῶνος,
3. ἐπεδόθης ὡς βρέφος αὐτῷ, | ἀλλ’ ἐγνώθης τούτῳ καὶ Θεός
4. τέλειος·
5. διόπερ ἐξεπλάγη * σοῦ τὴν ἄῤῥητον σοφίαν, κράζων·

6. ’Αλληλούϊα.

## Οἶκος ιγ΄ *(Stanza XIII)*

1. Νέαν ἔδειξεν κτίσιν | ἐμφανίσας ὁ Κτίστης
2. ἡμῖν τοῖς ὑπ’ αὐτοῦ γενομένοις·
3. ἐξ ἀσπόρου βλαστήσας γαστρὸς | καὶ φυλάξας ταύτην, ὥσπερ ἦν,
4. ἄφθορον·
5. ἵνα τὸ θαῦμα βλέποντες, * ὑμνήσωμεν αὐτήν, βοῶντες·

   1. Χαῖρε, τὸ ἄνθος τῆς ἀφθαρσίας·
   2. χαῖρε, τὸ στέφος τῆς ἐγκρατείας.
   3. Χαῖρε, ἀναστάσεως τύπον ἐκλάμπουσα·
   4. χαῖρε τῶν ’Αγγέλων τὸν βίον ἐμφαίνουσα.
   5. Χαῖρε, δένδρον ἀγλαόκαρπον | ἐξ οὗ τρέφονται πιστοί·
   6. χαῖρε, ξύλον εὐσκιόφυλλον | ὑφ’ οὗ σκέπονται πολλοί.
   7. Χαῖρε, κυοφοροῦσα | ὁδηγὸν πλανωμένοις·
   8. χαῖρε, ἀπογεννῶσα ‖ λυτρωτὴν αἰχμαλώτοις.
   9. Χαῖρε, Κριτοῦ δικαίου δισώπησις·
   10. χαῖρε, πολλῶν πταιόντων συγχώρησις.
   11. Χαῖρε, στολὴ τῶν γυμνῶν παῤῥησίας·
   12. χαῖρε, στοργὴ πάντα πόθον νικῶσα.

6. Χαῖρε, Νύμφη ἀνύμφευτε.

## Οἶκος ιδ΄ *(Stanza XIV)*

1. Ξένον τόκον ἰδόντες | ξενωθῶμεν τοῦ κόσμου,
2. τὸν νοῦν εἰς οὐρανὸν μεταθέντες·
3. διὰ τοῦτο γὰρ ὁ ῾Υψηλὸς | ἐπὶ γῆς ἐφάνη ταπεινός
4. ἄνθρωπος,
5. βουλόμενος ἑλκῦσαι * πρὸς τὸ ὕψος τοὺς αὐτῷ βοῶντας·

6. ’Αλληλούϊα.

Οἶκος ιε΄ *(Stanza XV)*

1. Ὅλος ἦν ἐν τοῖς κάτω, | καὶ τῶν ἄνω οὐδ' ὅλως
2. ἀπῆν ὁ ἀπερίγραπτος Λόγος·
3. συγκατάβασις γὰρ θεϊκή, | οὐ μετάβασις δὲ τοπική
4. γέγονεν
5. ὁ τόκος ἐκ Παρθένου * θεολήπτου ἀκουούσης ταῦτα·

    1. Χαῖρε, Θεοῦ ἀχωρήτου χώρα·
    2. χαῖρε, σεπτοῦ μυστηρίου θύρα.
    3. Χαῖρε, τῶν ἀπίστων ἀμφίβολον ἄκουσμα·
    4. χαῖρε τῶν πιστῶν ἀναμφίβολον καύχημα.
    5. Χαῖρε, ὄχημα πανάγιον | τοῦ ἐπὶ τῶν Χερουβίμ·
    6. χαῖρε, οἴκημα πανάριστον | τοῦ ἐπὶ τῶν Σεραφίμ.
    7. Χαῖρε, ἡ τἀναντία | εἰς ταὐτὸ ἀγαγοῦσα·
    8. χαῖρε, ἡ παρθενίαν | καὶ γονείαν ζευγνῦσα.
    9. Χαῖρε, δι' ἧς ἐλύθη παράβασις·
    10. χαῖρε, δι' ἧς ἠνοίχθη παράδεισος.
    11. Χαῖρε, ἡ κλεὶς τῆς Χριστοῦ βασιλείας·
    12. χαῖρε, ἐλπὶς ἀγαθῶν αἰωνίων.

6. Χαῖρε, Νύμφη ἀνύμφευτε.

Οἶκος ις΄ *(Stanza XVI)*

1. Πᾶσα φύσις ᾿Αγγέλων | κατεπλάγη τὸ μέγα
2. τῆς σῆς ἐνανθρωπήσεως ἔργον·
3. τὸν ἀπρόσιτον γὰρ ὡς Θεόν, | ἐθεώρει πᾶσι προσιτόν
4. ἄνθρωπον,
5. ἡμῖν μὲν συνδιάγοντα, * ἀκούοντα δὲ παρὰ πάντων·

6. ᾿Αλληλούϊα.

Οἶκος ιζ΄ *(Stanza XVII)*

1. Ῥήτορας πολυφθόγγους | ὡς ἰχθύας ἀφώνους
2. ὁρῶμεν ἐπὶ σοί, Θεοτόκε·
3. ἀποροῦσι γὰρ λέγειν τὸ πῶς | καὶ παρθένος μένεις καὶ τεκεῖν
4. ἴσχυσας·
5. ἡμεῖς δὲ τὸ μυστήριον * θαυμάζοντες, πιστῶς βοῶμεν·

    1. Χαῖρε, σοφίας Θεοῦ δοχεῖον·
    2. χαῖρε, προνοίας αὐτοῦ ταμεῖον.
    3. Χαῖρε, φιλοσόφους ἀσόφους δεικνύουσα·
    4. χαῖρε τεχνολόγους ἀλόγους ἐλέγχουσα.
    5. Χαῖρε, ὅτι ἐμωράνθησαν | οἱ δεινοὶ συζητηταί·
    6. χαῖρε, ὅτι ἐμαράνθησαν | οἱ τῶν μύθων ποιηταί.
    7. Χαῖρε, τῶν ᾿Αθηναίων | τὰς πλοκὰς διασπῶσα·
    8. χαῖρε, τῶν ῾Αλιέων | τὰς σαγήνας πληροῦσα.
    9. Χαῖρε, βυθοῦ ἀγνοίας ἐξέλκουσα·
    10. χαῖρε, πολλοὺς ἐν γνώσει φωτίζουσα.
    11. Χαῖρε, ὁλκὰς τῶν θελόντων σωθῆναι·
    12. χαῖρε, λιμὴν τῶν τοῦ βίου πλωτήρων.

6. Χαῖρε, Νύμφη ἀνύμφευτε.

Οἶκος ιη΄ *(Stanza XVIII)*

1. Σῶσαι θέλων τὸν κόσμον, | ὁ τῶν ὅλων κοσμήτωρ
2. πρὸς τοῦτον αὐτεπάγγελτος ἦλθε·
3. καὶ ποιμὴν ὑπάρχων ὡς Θεός, | δι᾿ ἡμᾶς ἐφάνη καθ᾿ ἡμᾶς
4. ἄνθρωπος·
5. ὁμοίῳ γὰρ τὸ ὅμοιον * καλέσας, ὡς Θεὸς ἀκούει·

6. ᾿Αλληλούϊα.

## Οἶκος ιθ΄ *(Stanza XIX)*

1. Τεῖχος εἶ τῶν παρθένων, | Θεοτόκε Παρθένε,
2. καὶ πάντων τῶν εἰς σὲ προστρεχόντων·
3. ὁ γὰρ τοῦ οὐρανοῦ καὶ τῆς γῆς | κατεσκεύασέ σε Ποιητής,
4. Ἄχραντε,
5. οἰκῆσαι ἐν τῇ μήτρᾳ σου, * σοὶ πάντας προσφωνεῖν διδάξας·

    1. Χαῖρε, ἡ στήλη τῆς παρθενίας·
    2. χαῖρε, ἡ πύλη τῆς σωτηρίας.
    3. Χαῖρε, ἀρχηγὲ νοητῆς ἀναπλάσεως·
    4. χαῖρε χορηγὲ θεϊκῆς ἀγαθότητος.

    5. Χαῖρε, σὺ γὰρ ἀνεγέννησας | τοὺς συλληφθέντας αἰσχρῶς·
    6. χαῖρε, σὺ γὰρ ἐνουθέτησας | τοὺς συληθέντας τὸν νοῦν.
    7. Χαῖρε, ἡ τὸν φθορέα | τῶν φρενῶν καταργοῦσα·
    8. χαῖρε, ἡ τὸν σπορέα | τῆς ἁγνείας τεκοῦσα.

    9. Χαῖρε, παστὰς ἀσπόρου νυμφεύσεως·
    10. χαῖρε, πιστοὺς Κυρίῳ ἁρμόζουσα.
    11. Χαῖρε, καλὴ κουροτρόφε παρθένων·
    12. χαῖρε, ψυχῶν νυμφοστόλε ἁγίων.

6. Χαῖρε, Νύμφη ἀνύμφευτε.

## Οἶκος κ΄ *(Stanza XX)*

1. Ὕμνος ἅπας ἡττᾶται | συνεκτείνεσθαι σπεύδων
2. τῷ πλήθει τῶν πολλῶν οἰκτιρμῶν σου·
3. ἰσαρίθμους γὰρ ψάμμῳ ᾠδὰς | ἂν προσφέρωμέν σοι, Βασιλεῦ
4. ἅγιε,
5. οὐδὲν τελοῦμεν ἄξιον, * ὧν δέδωκας τοῖς σοὶ βοῶσιν·

6. Ἀλληλούϊα.

## Οἶκος κα΄ *(Stanza XXI)*

1. Φωτοδόχον λαμπάδα | τοῖς ἐν σκότει φανεῖσαν
2. ὁρῶμεν τὴν ἁγίαν Παρθένον·
3. τὸ γὰρ ἄϋλον ἅπτουσα φῶς | ὁδηγεῖ πρὸς γνῶσιν θεϊκὴν
4. ἅπαντας,
5. αὐγῇ τὸν νοῦν φωτίζουσα, * κραυγῇ δὲ τιμωμένη ταύτῃ·

   1. Χαῖρε, ἀκτὶς νοητοῦ ῾Ηλίου·
   2. χαῖρε, βολὶς τοῦ ἀδύτου φέγγους.
   3. Χαῖρε, ἀστραπὴ τὰς ψυχὰς καταλάμπουσα·
   4. χαῖρε ὡς βροντὴ τοὺς ἐχθροὺς καταπλήττουσα.
   5. Χαῖρε, ὅτι τὸν πολύφωτον | ἀνατέλλεις φωτισμόν·
   6. χαῖρε, ὅτι τὸν πολύῤῥυτον | ἀναβλύζεις ποταμόν.
   7. Χαῖρε, τῆς κολυμβήθρας | ζωγραφοῦσα τὸν τύπον·
   8. χαῖρε, τῆς ἁμαρτίας | ἀναιροῦσα τὸν ῥύπον.
   9. Χαῖρε, λουτὴρ ἐκπλύνων συνείδησιν·
   10. χαῖρε, κρατὴρ κιρνῶν ἀγαλλίασιν.
   11. Χαῖρε, ὀσμὴ τῆς Χριστοῦ εὐωδίας·
   12. χαῖρε, ζωὴ μυστικῆς εὐωχίας.

6. Χαῖρε, Νύμφη ἀνύμφευτε.

## Οἶκος κβ΄ *(Stanza XXII)*

1. Χάριν δοῦναι θελήσας | ὀφλημάτων ἀρχαίων
2. ὁ πάντων χρεωλύτης ἀνθρώπων
3. ἐπεδήμησε δι᾿ ἑαυτοῦ | πρὸς τοὺς ἀποδήμους τῆς αὐτοῦ
4. χάριτος·
5. καὶ σχίσας τὸ χειρόγραφον, * ἀκούει παρὰ πάντων οὕτως·

6. ᾿Αλληλούϊα.

## Οἶκος κγ΄ *(Stanza XXIII)*

1. Ψάλλοντές σου τὸν τόκον | ἀνυμνοῦμέν σε πάντες
2. ὡς ἔμψυχον ναόν, Θεοτόκε·
3. ἐν τῇ σῇ γὰρ οἰκήσας γαστρὶ | ὁ συνέχων πάντα τῇ χειρί
4. Κύριος,
5. ἡγίασεν, ἐδόξασεν, * ἐδίδαξε βοᾶν σοι πάντας·

   1. Χαῖρε, σκηνὴ τοῦ Θεοῦ καὶ Λόγου·
   2. χαῖρε, ῾Αγία τῶν ῾Αγίων μείζων.
   3. Χαῖρε, κιβωτὲ χρυσωθεῖσα τῷ Πνεύματι·
   4. χαῖρε θησαυρὲ τῆς ζωῆς ἀδαπάνητε.
   5. Χαῖρε, τίμιον διάδημα | βασιλέων εὐσεβῶν·
   6. χαῖρε, καύχημα σεβάσμιον | ἱερέων εὐλαβῶν.
   7. Χαῖρε, τῆς ᾽Εκκλησίας | ὁ ἀσάλευτος πύργος·
   8. χαῖρε, τῆς Βασιλείας | τὸ ἀπόρθητον τεῖχος.
   9. Χαῖρε, δι᾽ ἧς ἐγείρονται τρόπαια·
   10. χαῖρε, δι᾽ ἧς ἐχθροὶ καταπίπτουσι.
   11. Χαῖρε, χρωτὸς τοῦ ἐμοῦ θεραπεία·
   12. χαῖρε, ψυχῆς τῆς ἐμῆς σωτηρία.

6. Χαῖρε, Νύμφη ἀνύμφευτε.

## Οἶκος κδ΄ *(Stanza XXIV)*

1. ᾽Ω πανύμνητε Μῆτερ, | ἡ τεκοῦσα τὸν πάντων
2. ἁγίων ἁγιώτατον Λόγον,
3. δεξαμένη τὴν νῦν προσφοράν, | ἀπὸ πάσης ῥῦσαι συμφορᾶς
4. ἅπαντας·
5. καὶ τῆς μελλούσης λύτρωσαι * κολάσεως τοὺς συμβοῶντας·

6. ᾽Αλληλούϊα.